UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

XLII. Qualiter deposito Macedonio, Eudoxius Episcopatum CP. obtinuit.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

κεῖσθαι γὰρ αὐτῇ, μήτε οὐσίαν, μήτε ὑπόστασιν ἐπὶ Θεοῦ λέγειν ταύτῃ καὶ οὐλφίλας ὁ τῶν γότθων ἐπίσκοπος τότε πρῶτον συνέθετο· τὸν γὰρ ἔμπροσθεν χρόνον, τὴν ἐν νικαίᾳ πίστιν ἠσπάζετο, ἑπόμενος θεοφίλῳ, ὃς τῶν γότθων ἐπίσκοπος ὢν, τῇ ἐν νικαίᾳ συνόδῳ παρὼν καθυπέγραψε· τοσαῦτα μὲν περὶ τούτων εἰρήσθω·

A enim adjectum eſt, ut neque ſubſtantia neque hypoſtaſis de Deo diceretur. Porro huic fidei etiam Ulfila Gothorum Epiſcopus tunc primùm conſenſit, Nam ante illud tempus Nicænam fidem amplexus fuerat: ſecutus Theophilum, qui cum Gothorum eſſet Epiſcopus, Nicæno Concilio præſens ſuſcripſerat. Sed de his hactenus.

Κεφ. μβ΄.

Ὡς καθαιρεθέντος Μακεδονίου, εὐδόξιος τὴν ἐπισκοπὴν Κωνσταντίνου πόλεως κατέσχεν.

ΟΙ δὲ περὶ ἀκάκιον καὶ εὐδόξιον, ἐν τῇ κωνσταντίνου πόλει περὶ τὸ ἀντικαθαιρεῖν καὶ αὐτοὶ τινὰς τοῦ ἑτέρου μέρους, ἀγῶνα ἐπέθεντο· ἰστέον δὲ, ὅτι οὐδέτεροι διὰ θρησκείαν, ἀλλὰ δι' ἑτέρας προφάσεις, τὰς καθαιρέσεις πεποίηνται· διακεκρινόμενοι γὰρ περὶ πίστεως, ἐν τῷ καθαιρεῖν ἀλλήλους, τὴν ἀλλήλων πίστιν οὐ διεμέμφοντο· συγχρώμενοι δὲ οἱ περὶ ἀκάκιον τῇ τοῦ βασιλέως ὀργῇ, ἣν κατά τε τῶν ἄλλων, καὶ μάλιστα κατὰ μακεδονίου φυλάττων ἐκτελέσαι ἐσπούδαζεν, καθαιροῦσι πρῶτον μὲν μακεδόνιον, καὶ ὡς αἴτιον πολλῶν φόνων γενόμενον, καὶ ὅτι διάκονον ἐπὶ πορνείᾳ ἁλόντα ἐδέξατο εἰς κοινωνίαν· ἐλεύσιον δὲ τὸν κυζίκου, διότι ἡρακλειόν τινα ἱερέα τοῦ ἐν τύρῳ ἡρακλέους, ἐπὶ γοητείᾳ ληφθέντα βαπτίσας, εἰς διάκονον προεβάλλετο· βασίλειον δὲ, τὸν καὶ βασιλᾶν, καὶ γὰρ οὕτως ὠνομάζετο, τὸν ἐν ἀγκύρᾳ εἰς τὸν τόπον μαρκέλλου προχειρισθέντα, ὡς ἀδίκως τινὰ βασανίσαντα, καὶ σιδηροδέσμοις φυλακαῖς καταλκείσαντα· καὶ ὅτι συκοφαντίας τισὶν ἔρραψεν· ἔτι μὴν καὶ ὅτι δι' ἐπιστολῶν τὰς ἐν ἀφρικῇ ἐκκλησίας ἐτάραξεν· δρακόντιον δὲ, ὅτι ἀπὸ γαλατίας μετέβη εἰς πέργαμον· καθεῖλον δὲ καὶ νεωνᾶν τὸν σελευκείας ἐν ᾗ ἐγεγόνει ἡ σύνοδος, ἔτι μὴν καὶ σωφρόνιον τὸν πομπηϊουπόλεως τῆς ἐν παφλαγονίᾳ, καὶ ἐλπίδιον σατάλων τῆς μακεδονίας, καὶ τὸν ἱεροσολύμων κύριλλον, καὶ ἄλλους δι' ἄλλας αἰτίας ἐξέβαλλον·

Cap. XLII.

Qualiter depoſito Macedonio, Eudoxius Epiſcopatum Conſtantinopoleos obtinuit.

B CÆterum Acacius & Eudoxius & qui cum illis erant Conſtantinopoli, id maxime ambibant, ut & ipſi viciſſim nonnullos adverſarum partium deponerent. Sciendum porro eſt, neutros ob religionem, ſed propter alias cauſas, hujusmodi depoſitiones decreviſſe. Nam quamvis in fide diſſentiebant, tamen cum ſe viciſſim deponerent, neutra pars alterius fidem inſimulavit. Qui igitur ab Acacio ſtabant, abutentes Imperatoris indignatione, quam ille jampridem animo conceptam tùm adverſus alios tùm præcipuè C contra Macedonium explere ſatagebat, primum quidem deponunt Macedonium; tum quòd plurimarum cædium auctor fuiſſet, tum quòd diaconum in fornicatione deprehenſum ad communionem admiſerat, Eleuſium deinde Cyzicenæ urbis Epiſcopum, propterea quod Heraclium quendam Herculis Tyrii ſacerdotem, maleficii & magicarum artium convictū, cum ſacro baptiſmate initiaſſet, mox diaconum ordinaverat. Tum Baſilium ſeu Baſilam, ſic enim etiā appellabatur, qui Marcelli loco Epiſcopus Ancyræ fuerat conſtitutus, eo quod quendam injuſte torſerat, & D catenis ferreis vinctum cuſtodiæ mancipaverat: præterea eo quod adverſus nonnullos calumnias ſtruxerat: denique quod Eccleſias Africæ epiſtolis ſuis perturbaverat. Dracontium verò idcirco depoſuerunt, quòd ex Galatia Pergamum tranſilierat. Abdicarunt etiam Neonam Epiſcopum Seleuciæ, qua in urbe ſynodus habita fuerat: Sophroniū quoque Epiſcopum Pompejopoleos, quæ urbs eſt Paphlagoniæ: Elpidium Satalorum Armeniæ, Cyrillum Hieroſolymorum Epiſcopum, alios denique alias ob cauſas exauctorarunt.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN